Πυγμαῖ[οι] ἀμενηνοὶ ..... .... ]κρείοντος Ἐρικτύπου εἰσὶ γενέθλης. τοὺς πάντα]ς πέρι κύκλωι ἐθύνεον ἀΐσσοντες ..... .. ἔθ]νεα μ[ .... Ὑ]περβορέων εὐίππων. ..... .... ]φέρβουσα π[ολ]υσπερέας πολύφορβος .... παρ' Ἠριδανοῖ]ο βα[θυρ]ρ[ό]ου αἰπὰ ῥέεθρα, ..... ..... ..... ]πρ . [ ........ ] ἠλέκτροιο. Ἄτλαντός τ' ὄρος] αἰπὺ κ[αὶ Αἴτν]ην παιπαλόεσσαν ..... ... Ὀ]ρτυγίην Λαιστ[ρ]υ[γον]ίην τε γενέθλην. ὅς τε Ποσει]δάωνος ἐρισθ[ε]νέος γένεθ' υἱός. τὴν πέρι δ]ὶς πόλεσαν περί τ' ἀμφί τε κυκλώσαντο ἱέμενοι] μάρψαι, ταὶ δ' ἐκφυγέειν καὶ ἀλύξαι. ἔς τε Κεφαλλ]ήνων ἀγερώχων φῦλον ὄρουσαν, οὓς τέκεν Ἑρ]μάωνι Καλυψὼ πότνια νύμφη· καὶ Νίσου ἐς γ]αῖαν Ἀρητιάδαο ἄνακτος· Σειρήνων τε λίγε]ι[α]ν [ὄπ]α κλύον· ἀλλ' ἄρα καὶ τὰς [ μετα]χρονίοισι πόδεσσι ..... ..... ..... . ]ν διά τ' αἰθέρος ἀτρυγέτοιο Ephorus (ἐν τῆι τετάρτηι ... βίβλωι, 70 F 42) apud Strabonem vii. 3. 9 p. 302 Γλακτοφάγων ἐς γαῖαν ἀπήνας οἰκί' ἐχόντων P. Oxy. 1358 fr. 2 col. ii η[ ῥ[ α[ Schol. Ap. Rhod. B 296/7 (p. 149/150 Wendel) ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηΐωι ὕψι μέδοντι. Herodianus π. μον. λέξ. 42 (ii. 947. 26 Lentz) νοῦθος δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει Apollonius Dyscolus, De pronominibus p. 98. 7 Schneider—Uhlig (Gramm. Graec. ii) σφὶν δ' αὐτοῖς μέγα πῆμα. Ephorus (70 F 113) apud Strabonem v. 2. 4 p. 221, de Pelasgis υἱεῖς ἐξεγένοντο Λυκάονος ἀντιθέοιο ὅν ποτε τίκτε Πελασγός P. Oxy. 1359 fr. 1, ed. Grenfell—Hunt [ ] .. [ ........ ]ν[ [ ] . [ . ]δι[ ........ ]ε . [ ..... .. ]μάλα δ' εὔαδεν ἀθα[νάτοισιν"] . [ ἦ ῥ'· ὃ δὲ] ῥί[γησ]έν τε καὶ ἴδιε μῦ[θον] ἀκούσ[ας ἀθανά]των οἵ οἱ τότ' ἐναργέες ἄντ' ἐφάνησαν· κούρη]ν δ' [ἐ]ν μεγάροισιν ἐῢ τρέφεν ἠδ' ἀτ[ίταλλε δεξάμ]εν[ο]ς, ἶσον δὲ θυγατράσιν ἧισιν ἐτίμ[α. ἣ τέκε] Τήλεφον Ἀρκασίδην Μυσῶν βασιλῆ[α, μιχθε]ῖς' ἐν φιλότητι βίηι Ἡρακληείηι εὖτε μεθ' ἵ]ππους στεῖχεν ἀγαυοῦ Λαομέδοντο[ς, οἳ ....... ] . ἄριστοι ἐν Ἀσ[ί]δι ἔτραφεν αἴηι· ..... . Δαρδαν]ιδῶν μεγαθύμων φῦλον ἐναιρ[ ..... ..... . κ]είνης δέ τε γῆς ἐξήλασε πάσης. αὐτὰρ Τήλεφος] ἔτραπ' Ἀχαιῶν χαλκοχιτών[ων ..... ..... .... ]ε μελαινάων ἐπὶ ν[ηῶν ..... ..... .... ] πέλασεν χθονὶ βω[τιανείρηι ..... ..... .... ]ὲ βίη τ' ἀνδροκτασίη τ[ε ..... ..... ..... . ]η κατόπισθεν [ . ] .. [ [ ] . ως δ' ἵκοντο θ[ [ ] πεφοβημένο[ [ ] . ετο κλυτὸς αρ[ [ ]ε διὰ κλε[ .. ] . [ [ ] . [ [ ]κλυτ[ [ ]να[ Herodianus π. μον. λέξ. 11 (ii. 918. 7 Lentz) Φέλλον ἐυμμελίην τέκε 〈το κλει〉 τὴ Μείλβοια Schol. Pind. Nem. ii. 17 (iii. 34/35 Drachmann) Τηϋγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις Ἀλκυόνη τε καὶ Ἀστερόπη δίη τε Κελαινὼ Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας pergit schol. Pind. Κυλλήνης ἐν ὄρεσσι θεῶν κήρυκα τέχ' Ἑρμῆν P. Oxy. 1359 fr. 4, ed. Grenfell—Hunt [ Ἀμύ]κλασ[ [ Λαπί]θαο θύγατ[ρα [ ]χθονίοιο[ [ θεῶν ἄπ]ο κάλλος ἔ[χουσαν [ ἐυπλ]όκαμον Δ[ιομ]ήδ[ην· ἣ δ' Ὑάκινθον ἔτικτεν ἀμύ]μονά τε κρατερόν τε [ ]α, τόν ῥά ποτ' αὐτὸς Φοῖβος ἀκερσεκόμης ἀέκων κτάνε νηλέ]ϊ δίσκωι P. Oxy. 1359 fr. 5, ed. Grenfell—Hunt [ ] . [ [ ]αι γέρας ἄφ[θιτον [ ]αιμοντεν[ [διὰ χρυσῆ]ν Ἀφροδί[την [ ] . κε γυν[αικ- P. Oxy. 1359 fr. 6 [ ] ... [ []ν ἵκανεν []ληες [ ]οιο [ ] P. Oxy. 1359 fr. 7 [ ] . [ [ ]ισ[ [ ]δων[ []ονήων· ηδ[ [ ]κατ' ἀρ . [ Schol. Soph. El. 539 (p. 128 Papageorgios) ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῶι Μενελάωι· ὁπλότατον δ' ἔτεκεν Νικόστρατον ὄζον Ἄρηος Schol. Eur. Or. 249 (i. 123. 8—21 Schwartz) τῆισιν δὲ φιλομμειδὴς Ἀφροδίτη ἠγάσθη προσιδοῦσα, κακῆι δέ σφ' ἔμβαλε φήμηι. Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει, ἵκετο δ' ἐς Φυλῆα φίλον μακάρεσσι θεοῖσιν· ὣς δὲ Κλυταιμήστρη 〈προ〉λιποῦσ' Ἀγαμέμνονα δῖον Αἰγίσθωι παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην· ὣς δ' Ἑλένη ἤισχυνε λέχος ξανθοῦ Μενελάου P. Oxy. 1359 fr. 2, ed. Grenfell—Hunt επ[ κ[ να[ καὶ μα[ Ἠλέκτρ[η γείναθ' [ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι Δάρδαν[ον Ἠετίων[ά τε ὅς ποτε Δ[ήμητρος πολυφόρβης ἐς λέχος ἦλθε. καὶ τὸν μ[ὲν κατέπεφνε πατὴρ ἀνδρῶν τε θεῶν τε Ἠετίωνα[ ἄνακτα βαλὼν ἀργῆτι κεραυνῶι, οὕνεκα δ[ὴ Δήμητρι μίγη φιλότητι καὶ εὐνῆι. αὐτὰρ Δά[ρδανος ἐκ τοῦ Ἐρ[ιχθόνιος Ἶλός [τ' νηϊ[ P. Oxy. 1359 fr. 3 νοστο[ α[ άιθοι . [ Schol. Hom. H 76 (P. Oxy. 1087, 22 sqq.) Τεύκρου δὲ Τρωος P. Oxy. 2503, ed. Lobel ..... ..... . ]ειο . [ ] ... ο . [ ..... ... ] . []λεων ὡς εἴ θ' ἑὸν υἱὸ[ν ..... ... πυ]ροφόρου Ἀσίης ἕδοσ[ ..... .. μηλ]οβότους Ἕρμον πάρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δ[ινήεντα ..... .. Δά]ρδανος ἤγετ’ ἐὺς πάϊς [Ἠλεκτρυώνης ..... ... ] .. Βροτέαο δαΐφρονοσ[ ..... ... ]οτ[ . ]ρων καλλιπλοκαμ[ χρυσὸν τι]μήεντα καὶ ἵππων ξαν[θὰ κάρηνα ..... ... ]ν τε βοῶν ἀγέλας καὶ πώ[εα μήλων ..... ... ]εἵνεκ’ ἄρ’ εἴδει ἐκαίνυτο [φῦλα γυναικῶν ἥ οἱ γείνατ]ο παῖδας ὁμὸν λέχος εἰσ[αναβᾶσα ..... .. ] Πανδίον’ ἐν ὑψηλοῖσι δό[μοισι κούρην τ’ α]ἰδοίην ἑλικώπιδα καλ[λιπάρηον ..... ... ] ἣ εἶδος ἐρήρ[ι]στ’ ἀθανάτ[ηισι τὴν μέν ῥ’ ἵπποι]σίν τε καὶ ἅρμασ[ι κολλητοῖσι ..... .... ἐυμ]μελίης θαλερὴν[ [ ]μητριον[ [ ] . αιν[ [ ]κον[ [ ]κλ[ Schol. A Hom. B 496 (i. 114. 11 Dindorf) ἠ’ οἵην ‘Υρίη Βοιωτίη ἔτρεφε κούρην P. Oxy. 2496 et 2497 fr. 1, ed. Lobel; P. Vogliano col. i, ed. Merk. [ ἐδ]άμνατο Φοῖβος Ἀπόλλω[ν [ ]ανης ὑπο παρνεθιηισιν [ ]περὶ θνητῶν ἀνθρώπων· [ ]Ἀΐδης καὶ Φερσεφόνεια [ ]νον· περὶ γὰρ χάριτι στεφάνωσαν [ ]τοῦ δ’ Ἰασίων γένεθ’ υἱός [θεο]ῖσιν φίλ[ο]ς ἀθανάτοισιν [ ]ς Ἀστρηΐδος ἠυκόμοιο· [ ] . ας ἀργυρότοξος Ἀπόλλων [ ]ηχήεντος Ὀλύμπου· [ ]Πειρεσίοιο [ ]ν ῥεῖ καλλίρροον ὕδωρ [ ἀ]μωμήτηισιν ἑταίρηις [ ]αι θεοὶ αὐτοὶ ἔραντο· [ κορυθά]ϊκος πολεμιστέω [ ]δώματα ἠχήεντα· [ πο]λυχρύσου [Ἀ]φ[ροδί]της· [ ]ειηλ[ τ]έκεν ἐ[ν με]γάροισιν [ ]εκω[ ]νεγεν[ [ Χαρίτω]ν ἀμαρύ[γματ’ ἐχουσ[ ] . ον[ [ ]ενω[ [ εἰκ]υῖα θεῇισι [ ]εος βασιλη . [ [ ]ος ὑδρευου[σ- P. Vogliano col. ii χ[ α[ α[ υ[ υ[ τ[ ⸏ ν[ α[ τ[ . [ P. Oxy. 2497 fr. 2 [ ] . [ [ ]μιπεν[ []ιπαραξυ .. [ [ ]ε, ισωσινπ[ [ ]υσιντόδ[ [ ] . ε[ P. Oxy. 2497 fr. 3 [] .. [ []νως . [ [ ]εξε[ P. Oxy. 2502, ed. Lobel [ ]ατονηδε . [ . ] . [ . ] . τος [ ἐ]μφύλιον αἷμ’ ἐκόρυσσον. τοὺς δὲ μέτ’ ἐν μεγάροι]ς κούρας τέκε δῖα γυναικῶν Λυσιδίκην καὶ Νικίπ]πην καὶ Ἀστυδάμειαν· τὰς παῖδες Περσῆος ἐε]δ[ν]ώσαντο γυναῖκας· Ἀστυδάμειαν μὲν θαλερὴν ]πο[ι]ήσατ’ ἄκοιτιν Ἀλκαῖος θεόφιν] μήστωρ ἀτάλαντος [ ]ηισιν[ ... ] . [ . ] .. ι .. Νικίππην δ’ ἄρ’ ἔγημε βίη Σθε]νέλοι[ο ἄν]ακτο[ς [ ] . [ .. ] .. [ . ] .... [ βίη . ‘Ηρακλ]ηείη[ . ] [ ἐπ]έτελλεν ἀέθλο[υς [ καὶ ἅρμασι] κολλη[τοῖ]σι [ ]οιο . [ .. ] . [ . ] . [ [ ] . [ P.S.I. 131, ed. Norsa ..... ..... ... ] Ἀλκμάονα π[οιμέ]να λα[ῶν ..... ..... . ] . υας Καδμηΐδες ἑλκεσίπε[πλοι ..... ... ἐτέ]θηπε δέμας εἰσάντα ἰδοῦ[σα ..... ..... . ]α . ας πολυκηδέος Οἰδιπό[δαο ..... ..... ]α . ενου κτήνου πολ[ . ] .. ριν[ ..... .... ἥρωε]ς Δαναοὶ θεράποντες Ἄρη[ος ..... ..... ... ]ι Πολυνείκεϊ ημοσ[ ..... ..... ... ] Ζηνὸς πάρα θέσφατα [ ..... ..... ... ] ἀπ’ Ἀλφειοῦ βαθυδίν[εω Ἠλεκτρύων ἵππ]οισι καὶ ἅρμασι κολλητ[οῖσιν ἤγαγε Λυσιδίκην] Πέλοπος περικαλλέα [κούρην. ἥ οἱ γείνατο παῖδ]ας ὁμὸν λέχος εἰσαναβ[ᾶσα, Γοργοφόνον θ’] ἥρωα καὶ αἰχμητὴν Περ[ι ..... .... ] Νομίον τε Κελαινέα τ’ Ἀμ[φίμαχόν τε Δηΐμαχόν] τε καὶ Εὐρύβιον κλειτόν τ’ Ἐ[πίλαον. καὶ τοὺς μὲν] Τάφι[ο]ι ναυσικλυτοὶ ἐξενά[ριξαν βουσὶν ἔπ’ εἰλι]πόδεσσιν, Ἐχινάων ἀ[πὸ νήσων πλεύσαντες ν]ήεσσιν ἐπ’ ε[ὐ]ρέα νῶτα θαλ[άσσης· Ἀλκμήνη δ’ ἄρα] μούνη ἐλ[είπ]ετο χάρμα γο[νεῦσι, Λυσιδίκης κο]ύρ[η] καὶ [Ἠλ]εκτρύων[ος ἀγαυοῦ ..... ..... .... ]ιλη[ .. ]αν[ . ]εδιο[ ..... ..... .... ]κ[ελαι]νεφέϊ Κρο[νίωνι ..... ..... ..... ..... ] . ( . ) [ . ]κ[ P. Oxy. 2355 et 2494A, ed. Lobel; Scuti libri ..... ..... ]θεν ἀνηγ . [ ]ο[ ..... ..... ... ] καὶ νη[ΐδος] ἠυκόμ[οιο ..... ..... ... ] . καλ[λίσφυ]ρον Ἠερόπ[ειαν ..... ..... . πρὸ]ς δῶμα [φίλη]ν κεκλῆ[σθαι ἄκοιτιν· ἣ τέκε .... ]βιον καὶ ἀρηΐφι[λον] Μενέ[λαον ἠδ’ Ἀγαμέμ]νονα δῖον, ὃς [Ἄργεος ε]ὐρυχό[ροιο ..... ... ] . ϊ πατρὶ ἄναξ κ[αὶ κοίρ]ανος ἦεν. ἠ’ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν ἤλυθεν ἐς Θήβας μετ’ ἀρήιον Ἀμφιτρύωνα Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος· ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων εἴδεΐ τε μεγέθει τε, νόον γε μὲν οὔ τις ἔριζε τάων ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι. τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ’ ἄπο κυανεάων τοῖον ἄηθ’ οἷόν τε πολυχρύσου Ἀφροδίτης. ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην, ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων. ἦ μέν οἱ πατέρ’ ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας, χωσάμενος περὶ βουσί· λιπὼν δ’ ὅ γε πατρίδα γαῖαν ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους. ἔνθ’ ὅ γε δώματ’ ἔναιε σὺν αἰδοίηι παρακοίτι, νόσφιν ἄτερ φιλότητος ἐφιμέρου· οὐδέ οἱ ἦεν πρὶν λεχέων ἐπιβῆναι ἐυσφύρου Ἠλεκτρυώνης, πρίν γε φόνον τείσαιτο κασιγνήτων μεγαθύμων ἧς ἀλόχου, μαλερῶι δὲ καταφλέξαι πυρὶ κώμας ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων. τὼς γάρ οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διέκειτο, θεοὶ δ᾽ ἐπιμάρτυροι ἦσαν· τῶν ὅ γ᾽ ὀπίζετο μῆνιν, ἐπείγετο δ᾽ ὅττι τάχιστα ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν· τῶι δ᾽ ἅμα, ἱέμενοι πολέμοιό τε φυλόπιδός τε, Βοιωτοὶ πλήξιπποι ὑπὲρ σακέων πνείοντες Λοκροί τ᾽ ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι ἕσποντ᾽· ἦρχε δὲ τοῖσιν ἐὺς πάις Ἀλκαίοιο, κυδιόων λαοῖσι. πατὴρ δ᾽ ἀνδρῶν τε θεῶν τε ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὥς ῥα θεοῖσιν ἀνδράσι τ᾽ ἀλφηστῆισιν ἀρῆς ἀλκτῆρα φυτεύσαι. ὦρτο δ᾽ ἀπ᾽ Οὐλύμποιο, δόλον φρεσὶ βυσσοδομεύων, ἱμείρων φιλότητος ἐυζώνοιο γυναικός, ἐννύχιος· τάχα δ᾽ ἷξε Τυφαόνιον· τόθεν αὖτις Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς. ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα· αὐτῆι μὲν γὰρ νυκτὶ τανισφύρου Ἠλεκτρυώνης εὐνῆι καὶ φιλότητι μίγη, τέλεσεν δ᾽ ἄρ᾽ ἐέλδωρ· αὐτῆι δ᾽ Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως, ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε· οὐδ᾽ ὅ γε πρὶν δμῶας καὶ ποιμένας ἀγροιώτας ὦρτ᾽ ἰέναι, πρίν γ᾽ ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς, τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν. ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγηι κακότητα νούσου ὕπ᾽ ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ, ὥς ῥα τότ᾽ Ἀμφιτρύων, χαλεπὸν πόνον ἐκτολυπεύσας, ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανεν, παννύχιος δ᾽ ἄρ᾽ ἔλεκτο σὺν αἰδοίηι παρακοίτι τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης. ἣ δὲ θεῶι δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστωι Θήβηι ἐν ἑπταπύλωι διδυμάονε γείνατο παῖδε, οὐκέθ᾽ ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην· τὸν μὲν χειρότερον, τὸν δ᾽ αὖ μέγ᾽ ἀμείνονα φῶτα, δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην· τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι, αὐτὰρ Ἰφικλῆα δορυσσόωι Ἀμφιτρύωνι, κεκριμένην γενεήν· τὸν μὲν βροτῶι ἀνδρὶ μιγεῖσα, τὸν δὲ Διὶ Κρονίωνι θεῶν σημάντορι πάντων. P. Berol. 9739 col. i, ed. Wilamowitz [Tab. IV] [ ]της ἀγὸς ἀνδρῶν [αἰχμ]ητάων [ ]ης πάντων ἀριδε[ίκετ]ος ἀνδρῶν· [ ]ας τε καὶ ἔγχεϊ ὀξ[υόε]ντι· [ ] . ου λιπαρὴν πόλι[ν ε]ἵνεκα κούρης [ἣ εἶ]δος ἔχε χρυσῆς Ἀφ[ροδί]της· [ ]ν Χαρίτων ἀμαρ[ύγμ]ατ᾽ ἔχουσαν· [ ]Τυνδαρέου βασ[ιλῆ]ος [ ]ροισι δόμοις [ ..... ] κυανῶπις· [ ] ..... μεγε[ ..... .. ] .. τ .. [ [ ]κῶνσ[ [ ] . [ P. Berol. 9739 col. ii, ed. Wilamowitz [Tab. IV] τοσσαύτας δὲ γυναῖκας ἀμύμονα ἔργ᾽ εἰδυίας, πάσας χρυσείας φιάλας ἐν χερσὶν ἐχούσας· καί νύ κε δὴ Κάστωρ τε καὶ ὁ κρατερὸς Πολυδεύκης γαμβρὸν ποιήσαντο κατὰ κράτος, ἀλλ᾽ Ἀγαμέμνων γαμβρὸς ἐὼν ἐμνᾶτο κασιγνήτωι Μενελάωι. υἱὼ δ᾽ Ἀμφιαράου Ὀϊκλείδαο ἄνακτος ἐξ Ἄργεος ἐμνῶντο μά[λ᾽ ἐγ]γύθεν· ἀλλ᾽ ἄρα καὶ τοὺς ὦρσ]ε θεῶν [ ..... ..... .. νέ]μεσίς τ᾽ ἀ[νθρώπων .... ] . θητ[ P. Berol. 9739 col. iii, ed. Wilamowitz; P. Oxy. 2491 fr. 1, ed. Lobel [Tab. IV] ἀλλ᾽ οὐκ ἦν ἀπάτης ἔργον παρὰ Τυνδαρίδηισιν. ἐκ δ᾽ Ἰθάκης ἐμνᾶτο Ὀδυσσῆος ἱερὴ ἴς, υἱὸς Λαέρταο πολύκροτα μήδεα εἰδώς. δῶρα μὲν οὔ ποτ᾽ ἔπεμπε τανισφύρου εἵνεκα κούρης· ἤιδεε γὰρ κατὰ θυμὸν ὅτι ξανθὸς Μενέλαος νικήσει, κτήνωι γὰρ Ἀχαιῶν φέρτατος ἦεν· ἀγγελίην δ᾽ αἰεὶ Λακεδαίμονάδε προΐαλλεν Κάστορί θ᾽ ἱπποδάμωι καὶ ἀεθλοφόρωι Πολυδεύκει. Αἰ]τωλῶν δ᾽ ἐμνᾶτ[ο] Θόας [Ἀνδραίμο]νος υἱὸς δί]ου Ἀρητιάδαο· δί[ 〈δ〉 ου] δ᾽ ἀπε[ρείσια ἕ]δνα, πο]λλὰ μάλ᾽ ἄργυφα μ[ῆλ]α καὶ [εἰλίποδας ἕλικ]α[ς] βοῦς· ἤθ]ελε γὰρ . αμ[ ..... . ]σε . [ .. ] . ωδαι[ ... ]ασθη[ ... ]σκα[ .... ]ρο[ P. Berol. 9739 col. iv, ed. Wilamowitz [ἀγγελίην δ᾽ αἰεὶ Λακεδαίμονάδε προΐαλλεν] Κάστορί θ᾽ ἱπποδάμωι καὶ ἀεθλοφόρωι Πολυδεύκει, ἱμείρων Ἑλένης πόσις ἔμμεναι ἠυκόμοιο, εἶδος οὔ τι ἰδών, ἀλλ᾽ ἄλλων μῦθον ἀκούων. ἐκ Φυλάκης δ᾽ ἐμνῶντο δύ᾽ ἀνέρες ἔξοχ᾽ ἄριστοι, υἱός τ᾽ Ἰφίκλοιο Ποδάρκης Φυλακίδαο ἠύς τ᾽ Ἀκτορίδης ὑπερήνωρ Πρωτεσίλαος· ἄμφω δ᾽ ἀγγελίην Λακεδαίμονάδε προΐαλλον Τυνδαρέου π[οτ]ὶ δῶμα δαΐφρονος Οἰβαλίδαο, πολλὰ δ᾽ ἔεδν[α δίδον,] μέγα γὰρ κλέος [ἔσκε γυ]ναικός, χαλκ[ χρυ[ς P. Berol. 9739 col. v, ed. Wilamowitz; P. Oxy. 2492, ed. Lobel ..... ..... . ]ρεη[ μάλα δ᾽ ἤθελε— — — Ἀργείης Ἑλένης πόσις ἔμμενα[ι ἠυκόμοιο. ἐκ δ᾽ ἄρ᾽ Ἀθηνέων μνᾶθ᾽ υἱὸς Π[ετεῶο Μενεσθεύς, πολλὰ δ᾽ ἔεδνα δίδου· κειμήλια γ[ὰρ μάλα πολλὰ ἔκτητο, χρυσόν τε λέβητάς τ[ε τρίποδάς τε, καλά, τά ῥ᾽ ἔνδοθι κεῦθε δόμος Πε[τεῶο ἄνακτος· οἷς μιν θυμὸς ἀνῆκεν ἐεδνώσ[ασθαι ἄκοιτιν πλεῖστα πορόντ᾽, ἐπεὶ ο[ὔ] τιν᾽ ἐέλπε[το φέρτερον εἶναι πάντω]ν ἡρώων κτήνεσσί τε δω[τίναις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε. ..... ]τείδαο δόμους κρατερὸς [ ..... ..... . Ἑλένη]ς ἕνεκ’ ἠυ[κόμοιο P. Oxy. 2491 fr. 2 [ ]σαο[ []ηιδα[ []ων . [ []φρο . [ [ ]εφ[ Nicolaus Damascenus (90 F 24) in Excerptis de virtut. i. 339. 16 Büttner—Wobst ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃισι, νοῦν δ’ Ἀμυθαονίδαις, πλοῦτον δ’ ἔπορ’ Ἀτρεΐδῃισι. P. Berol. 10560, ed. Schubart—Wilamowitz [ ] .. [ ] [ ] . [ . ]κ[ . ]ς· [ ] [ ]α desunt versus 3 [ ]ς desunt versus 5 [ ]ς desunt versus fere 25 μνᾶτο· πλεῖστα δὲ δῶρα μετὰ ξανθὸν Μενέλαον μνηστήρων ἐδίδου· μάλα δ’ ἤθελε ὃν κατὰ θυμὸν Ἀργείης Ἑλένης πόσις ἔμμεναι ἠυκόμοιο. Αἴας δ’ ἐκ Σαλαμῖνος ἀμώμητος πολεμιστὴς μνᾶτο· δίδου δ’ ἄρα ἔδνα ἐ[ο]ικότα, θαυματὰ ἔργα· οἳ γὰρ ἔχον Τροιζῆνα καὶ ἀγ[χ]ίαλον Ἐπίδαυρον νῆσόν τ’ Αἴγιναν Μάσητά τε κοῦρο[ι] Ἀχαιῶν καὶ Μέγαρα σκιόεντα καὶ ὀφρυόεντα Κόρινθον, Ἑρμιόνην Ἀσίνην τε παρὲξ ἅλα ναιεταώσας, τῶν ἔφατ’ εἰλίποδάς τε βόας κ[α]ὶ [ἴ]φια μῆλα συνελάσας δώσειν· ἐκέκαστο γὰρ ἔγχεϊ μακρῶι. αὐτὰρ ἀπ’ Εὐβο[ί]ης Ἐλεφήνωρ ὄρχαμος ἀ[νδρ]ῶν Χαλκωδοντιάδης, μεγαθύμων [ἀ]ρχ[ὸς] Ἀ[βά]ν[των, μνᾶτο· πολλὰ δὲ δῶρα δίδ[ου]· μάλ[α] δ’ ἤθελε θυ[μῶι Ἀργείης Ἑλένης πόσις ἔμμενα[ι ἠ]υκ[όμ]οι[ο. ἐκ Κρήτης δ’ ἐμνᾶτο μέγα σθένος Ἰδομ[ενῆος Δευκαλίδης, Μίνωος ἀγακλειτοῖο γενέ[θλης· οὐδέ τινα μνηστῆρα μ[ε]τάγγελον ἄλλ[ον ἔπεμψεν, ἀλλ’ αὐτὸς [σ]ὺν νηῒ πολυκλήϊδι μελαίνη[ι βῆ ὑπὲρ Ὠγυλίου πόντου διὰ κῦμα κελαιν[ὸν Τυνδαρέου ποτὶ δῶμα δαΐφρονος, ὄφρ[α ἴδοιτο Ἀ]ρ[γείην] Ἑλένην, μηδ’ ἄλλων οἶον ἀκ[ούοι μῦθον, ὃς] ἤδη πᾶσαν ἐπὶ [χθ]όνα δῖαν ἵκαν[εν ..... ... ] . φασιη Ζηνὸς μεγα . η .. α[ ..... ..... . ] ... ε· [ . ( . ) ]εταδ[ .... ] . [ [ ] .. α[ .. ] . [ . ] . [ [ ] . φ[ [ ]ει [ ]λης [ ]κα[ . ]τιν [ ]εδε ... [ ]δα [ ]εϊζ[ ..... ] ....... ι [ ]νε[ ..... ] .... ψων ..... .... ]ι[ ..... .. ]κα[ .. ] . ( . ) ς ... βαθείηι ..... .... ]ρο[ ...... ]κ[ .. ( . ) ]υ . ( . ) εἵνεκα κούρης ..... ..... ... ] . ουτ[ .. ]ελε[ .. ] ... γκας . [ .. ] πάν]τας δὲ μνηστῆρ[ας] ἀπ[ήι]τεεν ὅρκια πιστά, ὀ]μνύμεναί τ’ ἐκέλευσ[ε] και [ .. ]π .. ἀράασθαι σπονδῆι, μή τιν’ ἔτ’ ἄλλον [ἄ]νευ ἕθεν ἄλλα πένεσθαι ἀμφὶ γάμωι κούρης εὐ[ω]λ[ένο]υ· ὃς δέ κεν ἀνδρῶν αὐτὸς ἕλοιτο βίηι, νέμεσίν τ’ ἀπ[ο]θεῖτο καὶ αἰδῶ, τὸν μέτα πάντας ἄνωγεν ἀολλέας ὁρμηθῆνα[ι ποινὴν τεισομένους. τοὶ δ’ ἀπτερέως ἐπίθον[το ἐλπόμενοι τελέειν πάντες γάμον· ἀλλ’ ἄ[ρα πάντας Ἀτρε[ίδ]ης ν[ίκησε]ν ἀρηΐφιλος Μενέλαος πλεῖ[στ]α πορών. Χείρων δ’ ἐν Πηλίωι ὑλήεντι Πηλείδην ἐκόμιζε πόδας ταχύν, ἔξοχον ἀνδρῶν, παῖδ’ ἔτ’ ἐόν[τ’·] οὐ γάρ μιν ἀρηΐφιλος Μενέλαος νίκης’ οὐδέ τις ἄλλος ἐπιχθονίων ἀνθρώπων μνηστεύων Ἑλένην, εἴ μιν κίχε παρθένον οὖσαν οἴκαδε νοστήσας ἐκ Πηλίου ὠκὺς Ἀχιλλεύς. ἀλλ’ ἄρα τὴν πρίν γ’ ἔσχεν ἀρηΐφιλος Μενέλαος· ἣ τέκεν Ἑρμιόνην καλλίσφυρ[ο]ν ἐν μεγάροισιν ἄελπτον. πάντες δὲ θεοὶ δίχα θυμὸν ἔθεντο ἐξ ἔριδος· δὴ γὰρ τότε μήδετο θέσκελα ἔργα Ζεὺς ὑψιβρεμέτης, μεῖξαι κατ’ ἀπείρονα γαῖαν τυρβάξας, ἤδη δὲ γένος μερόπων ἀνθρώπων πολλὸν ἀϊστῶσαι σπεῦδε, πρ[ό]φασιν μὲν ὀλέσθαι ψυχὰς ἡμιθέω[ν ..... ..... . ]οισι βροτοῖσι τέκνα θεῶν μι[ ... ] . [ .. ]ο . [ ὀφ]θαλμοῖσιν ὁρῶντα, ἀλλ’ οἳ μ[ὲ]ν μάκ[α]ρες κ[ ....... ]ν ὡς τὸ πάρος περ χωρὶς ἀπ’ ἀν[θ]ρώπων[ βίοτον κα]ὶ ἤθε’ ἔχωσιν το[ .. ]ε . εαλ[ ἀθα]νάτω[ν τε ἰδὲ] θνητῶν ἀνθρώπων ... [ ]καλ ἄλγος ἐπ’ ἄλγει Ζεὺ[ς ]κ[ .. ]ε . ἔκερσε ο[ ]ερζει[ [ ἐ]πὶ μαστῶι [ ]α [μη]δέ τις ἀν[δ]ρῶν ..... ... νηῶν δὲ] μελαινάων ἐπιβαίη· ..... ..... ..... . β]ίηφί τε φέρτατος εἶναι ..... ..... ..... . ]ε καταθνητῶν ἀνθρώπων ..... ..... ..... ἔ]στι καὶ ὁππόσα μέλ 〈λ〉 ει ἔσεσθαι ..... ..... ..... .. ]α μήδεται ἠδὲ γεραίρει ..... ..... ..... . ]Διὸς νεφεληγερέταο ..... ] . ι[ . ] . α .. υ ( . ) η ....... φράσσασθαι ἔμελλεν οὔτε θ]εῶ[ν] μακάρων οὔτε θνητῶν ἀνθρώπων· ... π]ολλὰς Ἀΐδηι κεφαλὰς ἀπὸ χαλκὸν ἰάψ[ει]ν ἀν]δρῶν ἡρώων ἐν δηϊοτῆτι πεσόντων· ἀλλ’ οὔ πώ ποτε πατρὸς ἐπισθάνετο φρενὸ[ς] ὁρμῆ[ς· ἀ]λλά τε κῆρ’ ἀλεείνοντες σφετέροισι τέκεσσι . ] .. ποντ’ ἄνθρωποι, πραπίδων δ’ ἐπετέρπετ’ ἐρωῆι πα]τρὸς ἐρισθεν 〈έ〉 ος, μεγάλ’ ἀνδράσι μηδομένοιο. πο λλὰ δ’ ἀπὸ γλωθρῶν δενδρέων ἀμύοντα χαμᾶζε χεύετο καλὰ πέτηλα, ῥέεσκε δὲ καρπὸς ἔραζε π]νείοντος Βορέαο περιζαμενὲς Διὸς αἴσηι, . ] ´ λεσκεν δὲ θάλασσα, τρόμ{ε}εσκε δὲ πάντ’ ἀπὸ τοῖο, τρύχεσκεν δὲ μένος βρότεον, μινύθεσκε δὲ καρπός, ὥρηι ἐν εἰαρινῆι, ὅτε τ’ ἄτριχος οὔρεσι τίκτει γ]αί[η]ς ἐν κευθμῶνι τρίτωι

ἔτεϊ τρία τέκνα. ἦρο]ς μὲν κατ’ ὄρος καὶ ἀνὰ δρυμ{ν}ὰ πυκνὰ καὶ ὕλην εἶσι]ν ἀ[λυσ]κάζων καὶ ἀπ[ε]χθαίρων πάτον ἀνδρῶν ἄγκεα καὶ κνημοὺς κατα[ χειμῶνος δ’ ἐπιόντος ὑπὸ . [ κεῖται πόλλ’ ἐπιεσσάμενος ε[ δεινὸς ὄφις κατὰ νῶτα δα[φοινἀλλά μιν ὑβριστήν τε καὶ [ἄγριον κῆλα Διὸς δαμνᾶι φὴ λυ . [ ψυχὴ τοῦ [γ]’ οἴη καταλείπε[ται ἣ δ’ ἀμφ’ αὐτόχυτον θαλαμ[ ἠβαιήν ελ . ( . ) ειρα κατὰ χθ[ονός εἶσιν ἀμαυρωθεῖσ[ . ]ποθε[ κεῖται δεχ[ Ὧραι τεκ .. [ τέρψηι δ’ ἀ[νθρώπους αὖτις ἐπι[ γαίης τε[ ἔνθεν α[ θηλειερ[ ἐς φῶς· ο[ φράζετα[ι ἔρχετ[αι ἤπια τη[ γαίη ωσ[ πότμο[ ἰᾶσθαι[ οἳ δ’ ἂν ἰω[ νούσων[ ἀλλατα[ τηλεθο[ωτοῖσι δε[ τριστοι[ ἐπλη[ . ] . [ εἶσιν δ[ φῦλον [ δ[ desunt versus 4 α[ υ[ θ[ φα[ ενν[ ζώε[σκνοσφ[ κηρ[ καὶ γα[ ἀγρο[ Schol. Pind. Nem. iii 21 (iii. 45 Drachmann) ἣ δ’ ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην ... αὐτὰρ ἐπεί ῥ’ ἥβης πολυηράτου ἵκετο μέτρον, μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ’ ἀνδρῶν τε θεῶν τε, ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου, τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας. οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας, 〈πρῶτοι δ’ ἱστί’ ἔθεν νηὸς πτερὰ ποντοπόροιο〉 Polybius v. 2 de militibus Macedonicis πολέμωι κεχαρηότας ἠύτε δαιτί. Maximus Tyrius xxix. 2 (p. 341 Hobein) πολέμωι κεχαρηότες ἠύτε δαιτί; Schol. Pind. Nem. iv. 95 (iii. 80. 23—81. 5 Drachmann; post fabu- lam de Peleo et Acasti uxore scholiis ad Nem. iv. 92 et 95 nar- ratam) de Acasto ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή· αὐτὸν μὲν σχέσθαι, κρύψαι δ’ ἀδόκητα μάχαιραν καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις, ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ αἶψ’ ὑπὸ Κενταύροισιν ὀρεσκώιοισι δαμείη P. Argent. 55, ed. Reitzenstein ..... .. ] Φθίην ἐξίκετο μητέρα μήλων, πολλὰ] κτήματ’ ἄγων ἐξ εὐρυχόρου Ἰαωλκοῦ, Πηλεὺ]ς Αἰακίδης, φίλος ἀθανάτοισι θεοῖσιν. λαοῖσιν] δὲ ἰ[δ]οῦσιν ἀγαίετο θυμὸς ἅπασιν, ὥς τε πό]λιν [ἀ]λάπαξεν ἐύκτιτον, ὥς τ’ ἐτέλεσσεν ἱμερόεν]τα γ[ά]μον, καὶ τοῦτ’ ἔπος εἶπαν ἅπαντες· “τρὶς μά καρ Αἰακίδη καὶ τετράκις ὄλβιε Πηλεῦ, ..... ] . ο[ . ] μέ[γα] δῶρον Ὀλύμπιος εὐρύοπα Ζεύς ..... .... ] . [ .... μ]άκαρες θεοὶ ἐξετέλεσσαν· ὃς τοῖσδ’ ἐν μεγάροις ἱε ρὸν λέχος εἰσαναβαίνων ..... ..... ..... . πατ]ὴρ ποίησε Κρονίων ..... ..... ..... περ]ί τ’ ἄλλων ἀλφηστάων ..... ..... ..... .. χθονὸ]ς ὅσ[σ]ο[ι καρ]πὸν [ἔ]δουσι P. Oxy. 2511, ed. Lobel [] ... [ ....... ] .. ετο Μοῖρα κρατα[ι]ή[ [ ] . δη . [ .... τε]τληότι θυμῶι [ [ ]υμε[ ..... ] .. ν ταναήκεϊ χαλκῶι[ []κτομεν[ ... ] .. [ ΄ ]υ χερσὶ στιβαρῇισι [ []ε .. θεν ἱ . [ .... ] .. Σκαιῇισι πύληισι [ [ ] .. ρω[ ..... κα]ὶ ἐσσομένοισι πυθέσθαι· [ [ Ἰ]αωλκ[ὸν ἐυκ]τιμένην ἀλάπαξεν [ [Φθίη]ν ἐξ[ίκετο] μητέρα μήλων [ [ ἐν εὐρ]υχόρωι Ἰαωλκ[ῶι ]κφ[ [ ] . ο . [ [ ] . [ Schol. Pind. Pyth. ix. 6 (ii. 221. 12 Drachmann) ἠ’ οἵη Φθίηι Χαρίτων ἄπο κάλλος ἔχουσα Πηνειοῦ παρ’ ὕδωρ καλὴ ναίεσκε Κυρήνη P. Oxy. 2489, ed. Lobel [Ἀρι]σταῖον βαθυχαίτην [ ]σὺν Ἑρμῆι Μαιάδος υἱεῖ [ ]ἐπίσκοπος ἠδὲ νομήων [ ]ι δώματα καλά [ τε]θνηότα πορσανέουσαι [ ]μεν κλυτὸς Ἀργειώνη [ ] . ι ἔκδοσαν οἴηι [ ]ώπιδος ἀγλαὸν ἔργον Eustathius in Hom. (π 117—20) p. 1796. 38 Τηλεμάχωι δ’ ἄρ’ ἔτικτεν ἐύζωνος Πολυκάστη Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο Περσέπολιν μιχθεῖσα διὰ χρυσῆν Ἀφροδίτην Herodianus, π. μον. λέξ. 10 (ii. 915. 22 Lentz) Εὔμολπος Δόλιχός τε καὶ Ἱπποθόων μεγάθυμος Schol. A Hom. Ξ 119 (ii. 38. 28 Dindorf) ἰδὼν δ’ ἱππηλάτα Κῆρυξ, P. Oxy. 2493, ed. Lobel [ ]λείην καλλιχ[ [ ]ης· θαλερὴν δ[ [ ]ὃ δ’ ἀναίνετο τ[ [ ]τὸν δ’ ἔκταν[ [ ]ασσε δ’ ἀναγκα[ί- [ Ὄλυμπ]ον ἀγάννιφον ε[ ναίει ἀπήμαντος] καὶ ἀκηδὴς ἤ[ματα πάντα ἀθάνατος καὶ ἄγη]ρος ἔχων μεγαλ[ Ἥβην παῖδα Διὸς μεγάλο]ιο καὶ Ἥρης χρυ[σοπεδίλου· τὸν πρὶν μέν ῥ’ ἤχθη]ρε θ[εὰ λ]ευκώλ[ενος Ἥρη ἔκ τε θεῶν μακάρω]ν ἔκ τε [θνητῶν ἀνθρώπων, νῦν δ’ ἤδη πεφίλ]ηκε, τίει δέ μιν [ἔξοχον ἄλλων ἀθανάτων μετά γ’] αὐτὸν ἐρισθενέ[α Κρονίωνα [ ]δι φίλην πόρε π[ [ Ὄλυμπο]ν ἀγάννιφον· . [ [ ]σι . φυὴν καὶ εἶδ[ος [ Ἡρ]ακλῆϊ πτολι[πόρθωι [ ]ύρροον ἀργυρ[οδίνην [ ΄ . ]υ ῥέει εἰς ἅ[λα δῖαν [ ] ΄ γ[ . ] . ν[ Schol. Ap. Rhod. A 824 (p. 71. 6 Wendel) θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο Etymol. gen. s.v. τριχάϊκες πάντες δὲ τριχάϊκες καλέονται οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐδάσαντο. Strabo vii. 7. 2 p. 322 ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν, τοὺς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μήδεα εἰδὼς λεκτοὺς ἐκ γαίης ΛΑΟΥΣ πόρε Δευκαλίωνι· Etymol. gen. et Gud. (apud Reitzenstein, Gesch. der griech. Etymologica 161. 4), Etymol. magn. s.v. Ἰλεύς Ἰλέα, τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων· καί οἱ τοῦτ' ὀνόμην' ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην εὑρόμενος ἵλεων μίχθη ἐρατῆι φιλότητι ἤματι τῶι, ὅτε τεῖχος ἐυδμήτοιο πόληος ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων. Choeroboscus in Theodos. i. 123. 22 Hilgard ἣ δὲ Θόαν τέκεν υἱόν, Athenaeus x. 32 p. 428C οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος. ὅστις ἄδην πίνηι, οἶνος δέ οἱ ἔπλετο μάργος, σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε δεσμοῖς ἀφράστοισι, φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος Schol. Soph. Trach. 1167 (p. 344 Papageorgios) ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ' εὐλείμων ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν· ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται πολλοὶ ἀπειρέσιοι φῦλα θνητῶν ἀνθρώπων· ἔνθα δὲ Δωδώνη τις ἐπ' ἐσχατιῆι πεπόλισται· τὴν δὲ Ζεὺς ἐφίλησε καὶ ὃν χρηστήριον εἶναι τίμιον ἀνθρώποις 〈 〉 ναῖον δ' ἐν πυθμένι φηγοῦ· ἔνθεν ἐπιχθόνιοι μαντήϊα πάντα φέρονται. ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνηι δῶρα φέρων 〈τ'〉 ἔλθηισι σὺν οἰωνοῖς ἀγαθοῖσιν Comm. in Antimachum Coloph. p. 83 Wyss (P. Mediol. 17 col. ii 26 sqq., ed. Vogliano) ἐ[ν δ'] ἄρα κούραις δ[έξ]ατο P. Oxy. 2505, ed. Lobel [ ] . [ [ ]ολεησι[ [ ]π . ωρθι . [ [ τηλ]ύγετος με ( . ) . [ [ ]εην ὤπυιε θε[ ἣ δέ οἱ ἐν ]μεγάροις θεοεί[κελα γείνατο τέκνα P. Mediol. 39 (P. Milan. Vogliano), ed. Vandoni [Tab. V] [ ] ... [ ]νυδρου [ κ]αὶ πατρίδος αἴη[ς [ ]ευν[ . ] . [ ]οδαβαντα [ ]ηνορα δῖον [ ]ναβαντες [ Ἐ]ννοσίγαιος [ ]ἀμοιβήν [ ] .. [ ]κ .. [ ]αλέουσιν [ ἄ]νακτος [ ]όχοιο [ ]ατο νύμφηι [ ] . βαια [λιπαρ]οκρήδεμνος Apollonius Dyscolus, De pronominibus i. 82. 21 Schneider ἳν δ' αὐτῶι θανάτου ταμίης Anonymus, comm. in Aristot. Eth. Nicom. iii. 7 (Comm. in Aristot. Graec. xx. 155. 4) ὦ τέκος, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον Ζεὺς τέκνωσε πατήρ, (pergit commentator) αἱ Μοῖραί σε πονηρότατον καὶ ἄριστον P. Oxy. 2498, ed. Lobel ἣ τέκ' Ἀρισταίχμ[ην τε καὶ Εὐαίχμην ῥοδόπηχυν. τὰς δ' αὖ Βουτίδαι[ ἀγάγοντο Κήϋκος ποτὶ δῶ[μα φιλοπτολέμου βασιλῆος· ἤτοι Π[ο]υ[λ]υκόω[ν μὲν Ἀρισταίχμην τανύπεπλον ἤγαγε[θ'] ἵπποισ[ίν τε καὶ ἅρμασι κολλητοῖσιν. ἣ δέ οἱ ἐν μεγάρο[ις θεοείκελα γείνατο τέκνα Δηΐμαχον Στέφανό[ν τε τὴν δὲ Πολυκρεί[ων θαλερὴν ποιήσατ' ἄκοιτιν Εὐαίχμην, ἣ εἴδε[ι ἐκαίνυτο φῦλα γυναικῶν. τὴν δ' ἄρα Χαιρεσί[λαος Ἰασίδης [ἵ]πποισ[ι καὶ ἅρμασι κολλητοῖσι Pausanias ix. 40. 5—6 Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου Λειπεφίλην, ἣ εἶδος Ὀλυμπιάδεσσιν 〈ἔριζεν〉. Ἱππότην δέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτε Θηρώ τ' εὐειδέα ἰκέλην φαέεσσι σελήνης. Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνηισι πεσοῦσα γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο Schol. Pind. Pyth. iv. 36C (ii. 102 Drachmann) Schol. Pind. Pyth. iv. 61 (ii. 105 Drachmann) ἠ' οἵη Ὑρίηι πυκινόφρων Μηκιονίκη, ἣ τέκεν Εὔφημον γαιηόχωι Ἐννοσιγαίωι μιχθεῖς' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης Pausanias ix. 36. 6—7 Ὕηττος δὲ Μόλουρον Ἀρίσβαντος φίλον υἱὸν κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο, ἶξεν δ' Ὀρχομενὸν Μινυήιον· καί μιν ὅ γ' ἥρως δέξατο καὶ κτεάνων μοῖραν πόρεν ὡς ἐπιεικές P. Oxy. 2499, ed. Lobel [ ]θεινον[ [ ]μενκα[ [Πορθά]ονος υἱο[ [ ]Ἀλκα[θο [ π]ατρο[ [ ]αζον[ [ Μά]ρμαχ[' [ ] . τολιπ[ Zenobius ii. 19 (Corp. Paroemiogr. Graec. i. 36—37 Leutsch— Schneidewin) αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται. P. Oxy. 2495 fr. 37, ed. Lobel [ ]ουκ . [ ] .. [ [ ] . πονεοντεσ[ [ ]οὐ γὰρ ἄτερ τε[ [ ]σωσα [ τρίποδάς τε ]καθέδρασ ]] τρα]πέζας [ ]δ' ἔχον αἴσας [ ]ων αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐίσης ἐξ ἔρον ἕντο μητέρα μητρὸσ παισ]ὶν ἄγοντο ἀζαλέην τε καὶ ὀπταλέην σφετέροισι τέκεσσι τεθνάναι [ νιφετ]όν τε καὶ ὄμβ[ρον 'Trypho', De Tropis 23 (p. 246—7 West, Cl. Quart. 1965; Rhet. Gr. iii. 224—5 Spengel) αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐίσης ἐξ ἔρον ἕντο, οἷον οὐ μητέρα μητρὸς 〈 παισὶν〉 ἄγοντο 〈ἀζαλέην τε καὶ ὀπταλέην σφετέροισι τέκεσσι τεθνάναι. Schol. Hom. H 76 (P. Oxy. 1087. 22 sq.) ἀπάτωροι P. Oxy. 2495 fr. 38, ed. Lobel ]λακ ( . ) . ο[ ]επονεν[ ] . δ[ .. ]οσο[ Schol. A in

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Hephaest. p. 109. 4 Consbruch πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέι καπνῶι. Athenaeus xi. 99 p. 498AB, de voce σκύφος τῶι δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου, πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι pergit Athenaeus καὶ τότε μάντις μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν, Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο· τῶι δ' ἐπ' ὄπισθεν σκύπφον ἔχων ἑτέρηι, ἑτέρηι δὲ σκῆπτρον ἀείρας ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν Clemens Strom. vi. 2. 26 (ii. 442. 16 Stählin), de furtis poetarum Graecorum ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές Athenaeus ii. 13 p. 40F ἐν δαιτὶ καὶ εἰλαπίνηι τεθαλυίηι τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται, Ps. Apollod., Bibl. iii. [69—72] 6. 7 (p. 126—8 Wagner) οἵην μὲν μοῖραν δέκα μοιρέων τέρπεται ἀνήρ, τὰς δὲ δέκ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα. Tzetzes in Lycophr. 682 (ii. 225 Scheer) Ζεῦ πάτερ, εἴθε μοι εἴθ' ἥσσω μ' αἰῶνα βίοιο ὤφελλες δοῦναι καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας, ὃς μακρόν γέ μ' ἔθηκας ἔχειν αἰῶνα βίοιο ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων Strabo xiv. 1. 27 p. 642, de Colophone disserens θαῦμά μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσον ὀλύνθων οὗτος ἔχει, μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν; μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος· εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο. ὣς φάτο, καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου. καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψεν. P. Ibscher col. i, ed. Merkelbach ..... ..... . ὀλ]έσαι με βίηφί τε δουρί τε μακρῶι, ἀλλά με Μοῖρ' ὀλο]ὴ καὶ Λητοῦς ὤλεσε[ν υἱός. ἀλλ' ἄγε δή μοι ταῦτα δι]αμπερέως ἀγό[ρευσον· ..... ..... ..... ]νδε κατήλυθες [εἰς Ἀΐδαο ..... ..... ..... . ] ἅμ' ἕσπετο πισ[τὸς] ἑ[ταῖρος ..... ..... .... ]ει τί κατὰ χρέος ω[ ...... ]ις; ..... ..... ... π]ρότερό[ς] τ' ἀπ[ὸ] μῦθον ἔειπε[ ..... ..... ..... .. ]ας ἐς ποιμένα λαῶν ..... ..... ..... . θ]εὰ δασπλῆτις Ἐρινύς διογεν]ὲς [Μελ]έαγ[ρε δαΐ]φρονος Οἰνέος υἱέ, τοιγὰρ ἐγώ τοι] ταῦτ[α μ]άλ' ἀτρεκέως καταλέξω. ..... ] . ενωευδε[ .... ] ἀγαυὴν Φερσεφόνειαν ..... ] .... ας φας . [ ... ]αι Δ[ία] τερπικέραυνον ἀθανά]των τε νόμοις ἵνα ἑδνώσειεν ἄκ[ο]ιτιν ..... ] ἐκείνους φασὶ κασιγνήτας μεγ[ ... ] .. εις μνησ]τεύειν, γαμέειν δὲ φίλων ἀπάν[ευθε τοκήων .... ]αι ἐκ μακάρων γάμον ὄρνυται ἑδνώσασθαι αὐτοκ]ασιγνήτην ὁμοπάτριον· ἐγγυτέρω γάρ φής' εἶ]ναι γεγαὼς αὐτὸς μεγάλου Ἀΐδαο Φερσεφ]όνηι κούρηι Δημήτερος ἠυκόμοιο· αὐτὸς] μὲν γάρ φησι κασίγνητος καὶ ὄπατρος ...... ]εν ⟧ Ἀΐδην δὲ φίλον πάτρωα τετύχθαι· τοῦ δ' ἕν]εκεν φάτο βῆμεν ὑπὸ ζόφον ἠερόεντα." ὣς ἔφατ'·] Οἰνεΐδης δὲ κατέστυγε μῦθον ἀκούσας, καί μιν] ἀμ[ειβό]μενος προσεφώνει μειλιχίοισι·[ "Θησεῦ Ἀθην]αίων βουληφόρε θωρηκτάων, ..... .... ]δάμεια περίφρων ἦν παρά[κοι]τις ..... ..... μ]εγαθύμου Πειριθόοιο; [ ]αποντα[ [ ] ..... [ [ ]ουσκ[ [ ] .. [ ........ ]ρεμα[ [ ] .. [ P. Ibscher col. ii ωσε[ σεμ . [ .. α . [ [ εξα[ ημε[ [ . ]ζη[ ειμ . [ αψ . [ τον[ κει[ μιδ[ εισε . [ γα[ [ θειη[ .. [ [ [ ε[ α . [ Schol. Pind. Pyth. vi. 22 (ii. 197 Drachmann) Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμηισι φράζεσθαι· πρῶτον μέν, ὅτ' ἂν δόμον εἰσαφίκηαι, ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτηισιν Anonymus, comm. in Aristot. Eth. Nicom. v. 8 (Comm. in Aristot. gr. xx. 222. 22) εἰ κακά τις σπείραι, κακὰ κέρδεά ⟨κ'⟩ ἀμήσειεν· εἴ κε πάθοι, τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο Athenaeus xi. 80 p. 491CD ex Asclepiade Myrleano, de Pliadibus τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας (pergit Athenaeus) χειμέριαι δύνουσι Πελειάδες (pergit Athenaeus) τῆμος ἀποκρύπτουσι Πελειάδες Schol. in Aratum 172 (p. 369—70 Maass), de Hyadibus νύμφαι Χαρίτεσσιν ὁμοῖαι, Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος, ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων Servius in Verg. Georg. i. 244—5 (iii. 1. 188. 9 Thilo—Hagen) ποταμῶι ῥείοντι ἐοικώς Schol. Eur. Phoen. 1116 (i. 366. 4 Schwartz) καί οἱ ἐπὶ σκοπὸν Ἄργον ἵει κρατερόν τε μέγαν τε τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα, ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί Stephanus Byz. p. 3. 1 Meineke νήσωι ἐν Ἀβαντίδι δίηι· τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες, Εὔβοιαν δὲ βοός μιν ἐπώνυμον ὠνόμασε Ζεύς Plutarchus, Theseus

Eulogikon public reading copy · View original HTML at eulogikon.org

20 (i. 1. 18 Lindskog, i. 1. 17 Ziegler) δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης. Athenaeus xi. 109 p. 503 CD ἔνθά ποτ’ ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν Ps. Herodotus, vita Homeri 32 Εἰ μὲν δώσετε μισθὸν ἀοιδῆς, ὦ κεραμῆες, δεῦρ’ ἄγ’ Ἀθηναίη, καὶ ὑπέρσχεθε χεῖρα καμίνου, εὖ δὲ μελανθεῖεν κότυλοι καὶ πάντα κάναστρα, φρυχθῆναί τε καλῶς, καὶ τιμῆς ὦνον ἀρέσθαι, πολλὰ μὲν εἰν ἀγορῆι πωλεύμενα, πολλὰ δ’ ἀγυιαῖς, πολλὰ δὲ κερδῆναι ἡμῖν δὲ δὴ ὥς σφι νοῆσαι. ἢν δ’ ἐπ’ ἀναιδείην τρεφθέντες ψεύδε’ ἄρησθε, συγκαλέω δήπειτα καμίνων δηλητῆρας, Σύντριβ’ ὁμῶς Σμάραγόν τε καὶ Ἄσβολον ἠδὲ Σαβάκτην Ὠμόδαμόν θ’, ὃς τῆιδε τέχνηι κακὰ πολλὰ πορίζει· πεῖθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων. ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος πάντ’ ἔντοσθ’ αὐτῆς κεραμήϊα λεπτὰ ποιοῦσα. δεῦρο καὶ Ἠελίου θύγατερ πολυφάρμακε Κίρκη, ἄγρια φάρμακα βάλλε, κάκου δ’ αὐτούς τε καὶ ἔργα· δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους, οἵ θ’ Ἡρακλῆος χεῖρας φύγον, οἵ τ’ ἀπόλοντο· τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος, αὐτοὶ δ’ οἰμώζοντες ὁρώιατο ἔργα πονηρά· γηθήσω δ’ ὁρόων αὐτῶν κακοδαίμονα τέχνην. ὃς δέ χ’ ὑπερκύψηι, περὶ τούτου πᾶν τὸ πρόσωπον φλεχθείη, ὡς πάντες ἐπίστωντ’ αἴσιμα ῥέζειν. Clemens, Strom. v. 14. 129 (ii. 414 Stählin—Früchtel) μάντις δ’ οὐδ’ εἷς ἐστιν ἐπιχθονίων ἀνθρώπων ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο Plutarchus, De defectu oraculorum 11 p. 415 (iii. 71—72 Paton— Pohlenz) ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος· τρεῖς δ’ ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ ἐννέα τοὺς κόρακας· δέκα δ’ ἡμεῖς τοὺς φοίνικας νύμφαι ἐυπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο. Schol. T Hom. Σ 570 (vi. 279. 16 Maass), “λίνον” Οὐρανίη δ’ ἄρ’ ἔτικτε Λίνον πολυήρατον υἱόν· ὃν δή, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί, πάντες μὲν θρηνεῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε, ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν Clemens, Strom. i. 4. 25 (ii. 16. 13 Stählin—Früchtel) παντοίης σοφίης δεδαηκότα Schol. Hom. δ 231 (i. 196. 3 Dindorf) εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι ἢ αὐτὸς Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν Clemens, Protr. 7. 73. 3 (i. 55. 25 Stählin) αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν ἀθανάτων τέ οἱ οὔ τις ἐρήρισται κράτος ἄλλος Epimerism. alphab. in Hom., Anecd. Ox. i. 148. 23 Cramer δῶρα θεῶν μακάρων πλῆσθαι χθονί Clemens, Strom. i. 6. 36 (ii. 24. 2 Stählin—Früchtel) Μουσάων, αἵ τ’ ἄνδρα πολυφραδέοντα τιθεῖσι θέσπιον αὐδήεντα Ps. Ammonius, De adf. vocab. diff. 354 p. 92 Nickau (s.v. ὄρθρος) πρωῒ μάλ’ ἠΐθεον, Schol. A Hom. Λ 155 (i. 379. 15 Dindorf) τῆλε γὰρ ἀξυλίηι κατεπύθετο κήλεα νηῶν Etymol. gen. s.v. λαρόν (Wendel, Schol. in Ap. Rhod. p. 41 adn.) οὐκέτι δὴ βαίνουσι λαροῖς ποσίν. Schol. A Hom. Ω 624 (ii. 294 Dindorf) ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ’ ἐρύσαντο. Galenus, De placitis Hippocr. et Plat. i. 265. 7 Müller (=Chrysip- pus fr. 906, stoic. Vet. Fr. 11. 254. 11 v. Arnim) τοῦ{δε} γὰρ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι (pergit Galenus) οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ’ ἔχουσα Strabo vii. 7. 10 p. 327 Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ἦιεν Schol. Ap. Rhod. A 757 (p. 65 Wendel) αὐτὸς δ’ ἐν πλήμηισι διιπετέος ποταμοῖο, Harpocratio p. 133. 18 Dindorf ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων Porphyrius, De abstinentia ii. 18 (p. 148. 13 Nauck) ὥς κε πόλις ῥέζηισι, νόμος δ’ ἀρχαῖος ἄριστος Schol. Nicandr. Ther. 452 (p. 36. 22 Keil) χρὴ δέ σε πατρὶ 〈 〉 κτίλον ἔμμεναι Ps. Plato, Epist. xi p. 359A χαλεπὸν δὲ νοῆσαι Schol. AT Hom. Φ 528 (ii. 228. 25 Dindorf, vi. 367. 5 Maass) ἄφυζαν Strabo viii. 5. 3 p. 364 βρῖ Tzetzes, Exeges. Iliad. p. 4. 9 Hermann ἥδυμον Schol. in Philostrati Heroic. p. 464 Boissonade (de voce ὅτις) ὅτων Epimerism. alphab. in Hom., Anecd. Ox. i. 46. 31 Cramer Πρόκριν Pollux i. 231 φυλλοχόος μήν Anon. π. τῶν σολοικοφανῶν σχημάτων in cod. Matr. 7211 fol. 154, cod. Taur. 271 (B. VI. 10) fol. 29v δαϊζομένοιο πόληος Etymol. gen. s.v. ζαῆν ἄνεμον ὃς αἰὲν μὴ πετῆνα γενέσθαι Schol. E Hom. η 104 (i. 332. 10 Dindorf) ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν, Plutarchus, De Stoicorum repugnantiis 8, p. 1034E (vi. 2. 6 Pohlenz) μηδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίκην δικάσηις, πρὶν ἄμφω μῦθον ἀκούσηις Etymol. magn. p. 44. 29 ἀκαλὰ προρέων, Etymol. Symeonis cod. Voss. (Gaisford ad Etym. magn. 44. 29) ἀκαλὰ προχέων, incertum est, num haec ad versum spectent, quem laudat Steph. Byz. p. 503. 21 Meineke ὣς ἀκαλὰ προρέων ὡς ἁβρὴ παρθένος εἶσιν Galenus, De placitis Hippocr. et Plat. iii. 8 p. 318 Müller (=Chrysippus fr. 908, Stoic. Vet. Fr. 11. 256 v. Arnim) ἐκ ταύτης ἔριδος ἣ μὲν τέκε φαίδιμον υἱὸν Ἥφαιστον τέχνηισιν ἄνευ Διὸς αἰγιόχοιο ἐκ πάντων παλάμηισι κεκασμένον Οὐρανιώνων· αὐτὰρ ὅ γ’ Ὠκεανοῦ καὶ Τηθύος ἠυκόμοιο κούρηι νόσφ’ Ἥρης παρελέξατο καλλιπαρήου ἐξαπαφὼν Μῆτιν καίπερ πολύιδριν ἐοῦσαν· συμμάρψας δ’ ὅ γε χερσὶν ἑὴν ἐγκάτθετο νηδύν, δείσας μὴ τέξηι κρατερώτερον ἄλλο κεραυνοῦ· τούνεκά μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων κάππιεν ἐξαπίνης. ἣ δ’ αὐτίκα Παλλάδ’ Ἀθήνην κύσατο· τὴν μὲν ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε πὰρ κορυφήν, Τρίτωνος ἐπ’ ὄχθηισιν ποταμοῖο. Μῆτις δ’ αὖτε Ζηνὸς ὑπὸ σπλάγχνοις λελαθυῖα ἧστο, Ἀθηναίης μήτηρ, τέκταινα δικαίων, πλεῖστα θεῶν εἰδυῖα καταθνητῶν τ’ ἀνθρώπων. ἔνθα θεὰ παρέλεκτο Θέμις παλάμαις περὶ πάντων ἀθανάτων ἐκέκασθ’ οἳ Ὀλύμπια δώματ’ ἔχουσιν, αἰγίδα ποιήσασα φοβέστρατον ἔντος Ἀθήνης· σὺν τῆι ἐγείνατό μιν, πολεμήϊα τεύχε’ ἔχουσαν. Schol. Pind. Nem. ii. 1 (iii. 31 Drachmann) ἐν Δήλωι τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν, Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ Plato, Resp. iii p. 390E δῶρα θεοὺς πείθει, δῶρ’ αἰδοίους βασιλῆας Clemens, Strom. v. 14. 107. 2 (ii. 397. 21 Stählin) ex Aristobulo ἑβδομάτηι δ’ αὖτις λαμπρὸν φάος ἠελίοιο Apollonius Soph., Lex. Hom. p. 164. 14 Bekker φοῖβον ὕδωρ ἐπάγων κέρας’ Ὠκεανοῖο ῥοῆισι Athenaeus iii. 84 p. 116 A—D ἄμφακες μὲν πρῶτον στόμα καὶ κριται αντα καὶ θιοην γναθμὸν 〈ὃν〉 ηὐδάξαντο δυσείμονες ἰχθυβολῆες, οἷς ὁ ταριχόπλεως ἅδε Βόσπορος, οἵ θ’ ὑπόγαστρα τμήγοντες τετράγωνα ταρίχια τεκταίνονται. ναὶ μὴν οὐκ ἀκλεὲς θνητοῖς γένος ὀξυρρύγχου, ὃν καὶ ὅλον καὶ τμητὸν Ἀλεξανδρεῖς ἐκόμισσαν. θύννων δ’ ὡραίων Βυζάντιον ἔπλετο μήτηρ καὶ σκόμβρων κυβίων τε καὶ εὐχόρτου λικιβάττεω· καὶ Πάριον κολιῶν κυδρὴ τροφὸς ἔσκε πολίχνη· Ἰόνιον δ’ ἀνὰ κῦμα φέρων Γαδειρόθεν ἄξει Βρέττιος ἢ Καμπανὸς ἢ ἐξ ἀγαθοῖο Τάραντος ὀρκύνοιο τρίγωνα, τά τ’ 〈ἐν〉 στάμνοισι τεθέντα ἀμφαλλὰξ δείπνοισιν ἐνὶ πρώτοισιν ὀπηδεῖ. Plutarchus, De sera numinis vindicta 9 p. 553F—554A (iii. 409. 13 Pohlenz—Sieveking) ὃς δ’ ἄλλωι κακὰ τεύχει, ἑῶι κακὸν ἥπατι τεύχει Philippus philosophus, Comment. in Charicleam (ed. Hercher, Hermes 3, 1869, 385; Colonna, Heliodori Aethiopica [1938] 368) ὃς κακὸν ἄλλωι τεύχει, 〈ἑ〉 ῶι κακὸν ἥπατι τεύχει Priscianus, Inst. 14. 34 (Gramm. Lat. iii. 41. 19 K.) ἀμφὶ περὶ κρήνην ἰοειδέα Fulgentius, Mitol. 3. 1 (p. 59—60 Helm) ⎰ προῖτος σταφύλης εὖ λακτισμένης αἱμορρόωι 〈 〉 ⎱ προῖτος σταφυλῶν καλῶς λακτιστῶν αἱματίο 〈ι〉 ς δρόσο 〈ι〉 ς Eustath. in Hom. (A 404) p. 124. 37 παῦροι δέ τε πατρὸς ἀρείους Eustath. in Hom. p. 1318. 7 ὑπερβασίαι δ’ ἀλεγειναί Schol. Aesch. Prom. 367 (p. 19. 20 Dindorf) τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον Comment. in Arat. p. 97. 25 Maass σφαῖρος κυκλοτερὴς μονίηι περιηγέϊ χαίρων Schol. Theocrit. i. 27 (p. 38. 11 Wendel); schol. Lucian. p. 210. 6 Rabe; Et. gen. s.v. κισσύβιον ὀλίγωι δ’ ἥδετο κισσυβίωι Etymol. magn. p. 773. 22 s.v. τῶ πικρὰς ὠδῖνας ἔχουσαι, Etymol. gen. s.v. Βύβλος (Reitzenstein, Gesch. d. gr. Etymologika p. 329. 27) Βύβλον τ’ ἀγχίαλον καὶ Σίδων’ ἀνθεμόεσσαν Etymol. gen. s.v. εἱλυφάζω ἄνεμος φλόγα εἱλυφάζων Ἀνθολογία γνωμῶν καὶ ἀποφθεγμάτων quae exstat in cod. Patm. 6 (Decharme—de Julleville, Note sur les Manuscrits d’ Auteurs Anciens qui se trouvent dans la Bibliothèque du Monastère de Saint—Jean à Patmos, 1866, p. 48) θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org